**SS 2025 Λυσιστράτη, Agon 636-657 (11. Sitzung) (Karanasiou)**

[https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf](https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf)

**Χορὸς Γυναικῶν**

οὐκ ἄρ᾽ εἰσιόντα σ᾽ οἴκαδ᾽ ἡ τεκοῦσα γνώσεται.

ἀλλὰ θώμεσθ᾽ ὦ φίλαι γρᾶες ταδί πρῶτον χαμαί.

ἡμεῖς γὰρ ὦ πάντες ἀστοὶ λόγων κατάρχομεν
τῇ πόλει χρησίμων·
εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με.
ἑπτὰ μὲν ἔτη γεγῶσ᾽ εὐθὺς ἠρρηφόρουν·
εἶτ᾽ ἀλετρὶς ἢ δεκέτις οὖσα τἀρχηγέτι·
κᾆτ᾽ ἔχουσα τὸν κροκωτὸν ἄρκτος ἢ Βραυρωνίοις·

κἀκανηφόρουν ποτ᾽ οὖσα παῖς καλὴ ᾽χουσ᾽

ἰσχάδων ὁρμαθόν·

**Χορὸς Γυναικῶν**

ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;
εἰ δ᾽ ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθονεῖτέ μοι,
ἢν ἀμείνω γ᾽ εἰσενέγκω τῶν παρόντων πραγμάτων.

τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας ἐσφέρω,

τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ᾽ ὑμῖν, ἐπεὶ
τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν

εἶτ᾽ ἀναλώσαντες οὐκ ἀντεσφέρετε τὰς ἐσφοράς,
ἀλλ᾽ ὑφ᾽ ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν.

ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί με,

τῶιδέ γ᾽ ἀψήκτῳ πατάξω τῶι κοθόρνῳ τὴν γνάθον.